## 11.

# ΥΓΙΕΙΝΑ ΠΑΡΑΓΓΕΛΜΑΤΑ B

(Plan. 29)

### COLLOQUUNTUR MOSCHIO ET ZEUXIPPUS

**1.** *Μ.* Σὺ δὴ Γλαῦκον χθές, ὦ Ζεύξιππε, τὸν ἰατρὸν ἀπετρίψω συμφιλοσοφεῖν ὑμῖν βουλόμενον;

*Ζ.* Οὔτ' ἀπετριψάμην, ὦ φίλε Μοσχίων, οὔτ' ἐβούλετο συμφιλοσοφεῖν ἐκεῖνος, ἀλλ' ἔφυγον καὶ ἐφοβήθην λαβὴν φιλομαχοῦντι παρασχεῖν. ἐν μὲν γὰρ ἰατρικῇ καθ' Ὅμηρον (Λ 514) C ὁ ἀνὴρ 'πολλῶν ἀντάξιος ἄλλων', οὐκ εὐμενὴς δὲ πρὸς φιλοσοφίαν, ἀλλ' ἀεί τι τραχὺ καὶ δύσκολον ἔχων ἐν τοῖς λόγοις· καὶ νῦν ἐναντίος ἐφ' ἡμᾶς ἐχώρει, βοῶν ἔτι πρόσωθεν οὐ μικρὸν οὐδ' ἐπιεικὲς ἔργον ἡμῖν σύγχυσιν ὅρων τετολμῆσθαι διαλεχθεῖσι περὶ διαίτης ὑγιεινῆς. 'χωρὶς' γὰρ ἔφη τὰ φιλοσόφων καὶ ἰατρῶν ὥσπερ τινῶν 'Μυσῶν καὶ Φρυγῶν ὁρίσματα' (Tr. adesp. 560) καί τινα τῶν οὐ μετὰ σπουδῆς, οὐ μὴν ἀχρήστως εἰρημένων παρ' ἡμῶν διὰ στόματος ἔχων ἐσπάραττεν.

*Μ.* Ἀλλὰ καὶ τούτων ἔγωγε καὶ τῶν ἄλλων, ὦ Ζεύξιππε, πρόθυμος ἀκροατὴς ἡδέως ἂν γενοίμην.

*Ζ.* Φιλόσοφος γὰρ εἶ τὴν φύσιν, ὦ Μοσχίων, καὶ τῷ μὴ φιλιατροῦντι χαλεπαίνεις φιλοσόφῳ, καὶ ἀγανακτεῖς εἰ μᾶλλον D αὐτὸν οἴεται προσήκειν γεωμετρίας καὶ διαλεκτικῆς καὶ μουσικῆς ὁρᾶσθαι μεταποιούμενον ἢ ζητεῖν καὶ μανθάνειν βου-